www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΕΝ ΙΕΡΑΡΧΑΙΣ ΜΕΓΙΣΤΟΝ
# ΑΓΙΟΝ ΓΡΗΓΟΡΙΟΝ
# ΤΟΝ ΠΑΛΑΜΑΝ,
# ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

* * *



Συνετέθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος
ὑπὸ
Ἀθανασίου ἱερομονάχου Σιμωνοπετρίτου,
Ὑμνογράφου τῆς Ἁγίας τοῦ Χριστοῦ Μεγάλης Ἐκκλησίας,
πρὸς χρῆσιν τῶν σπουδαστῶν τῆς ἐν Θεσσαλονίκῃ Ἀνωτέρας Ἐκκλησιαστικῆς Σχολῆς

* 1998 *



# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΑΡΧΗΝ ΓΡΗΓΟΡΙΟΝ ΠΑΛΑΜΑΝ, ΑΡΧΙΕΠΙΣΚΟΠΟΝ ΘΕΣΣΑΛΟΝΙΚΗΣ

*** * ***

Εὐλογητός, Κύριε εἰσάκουσον, Θεὸς Κύριος, καὶ τὸ τροπάριον

Ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Φωτὸς τοῦ θείου ἐμπιμπλάμενος μάκαρ, οὗπερ ὑπέρμαχος καὶ κήρυξ ἐφάνης, Γρηγόριε τρισμέγιστε ποιμὴν θαυματουργέ, πλήρωσον δεόμεθα σαῖς εὐχαῖς πρὸς Δεσπότην, θαβωρίου λάμψεως, τὰς ψυχὰς ἡμῶν τάχει, ἀποδιώκων σκότος τῶν παθῶν, καὶ διαλύων, ἀγνοίας τὸ ἔρεβος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο, ἐκ τοσούτων κινδύνων, τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ ψαλμός, μεθ' ὃν ὁ κανών, οὗ ἡ ἀκροστιχίς:

**"Κήρυξ τοῦ Φωτός, φώτισον ἡμῶν τὰ σκότη.'Α(θανάσιος)".**

Ὠδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.

Κήρυξ φωτὸς τοῦ θαβωρίου μέγιστε, Θεσσαλονίκης ποιμήν, ἱεράρχα θεῖε, πάντιμε Γρηγόριε, καρδίας ἡμῶν πλάτυνον, ἱεραῖς σου πρεσβείαις, ἵνα δεξώμεθα χαίροντες, τὰς μαρμαρυγὰς τῆς θεότητος.

῾Η ἐκ σπαργάνων βρεφικῶν μακάριε, σοῦ θαυμαστὴ βιοτή, εἵλκυσε πλουσίως, δωρεὰς τῆς Χάριτος, ὧν συμμετόχους ποίησον, Παλαμᾶ θεοφόρε, εἰλικρινῶς τοὺς γεραίροντας, τὰ διὰ Χριστόν σου ἀθλήματα.

῾Ρύπον ψυχῇ μὴ ἀφιεὶς σμικρότατον, ἀσκητικῇ ἀγωγῇ, σκήνωμα ἐγένου, τοῦ πανάγνου Πνεύματος, ὅπερ κλεινὲ Γρηγόριε, καθικέτευε ὅπως, ἀποκαθάρῃ νοήματα, τῶν σοι προσπιπτόντων ἐκ πίστεως.

Θεοτοκίον

῾Υπεραγία Θεοτόκε Δέσποινα, ταῖς μητρικαῖς σου εὐχαῖς, πρὸς Δεσπότην δίδου, ἅπασι τὴν χάριν σου, ὥσπερ ποτὲ αἰτήσαντι, τῷ μικρῷ Γρηγορίῳ, τὴν σὴν βοήθειαν δέδωκας, καὶ τῆς δυσμαθείας ἀπήλλαξας.

ᾨδὴ γ΄. Οὐρανίας ἀψῖδος.

Ξενοτρόπως βιώσας, τὸν κοσμικὸν σύνδεσμον, ἀνδρικῶς διέῤῥηξας Πάτερ, Σχῆμα τὸ ἅγιον, ὑπενδυθείς πανοικεί, ὅθεν σοφίας ἐγένου, θείας οἶκος πάντερπνος, ἧς με ἀξίωσον.

Τὸν ἰχθὺν ὁ πατήρ σου, ἐν προσευχῇ ἤγρευσε, δήλην ἁγιότητα βίου, ποιῶν ὁ πάντιμος, ἧς σὺ μετέσχηκας, διὸ ᾿Ιχθύος παμμάκαρ, ἀληθοῦς ἀξίωσον, ἡμᾶς πρεσβείαις σου.

Οὐδαμῶς ἠπατήθης, ἐκ τῆς κενῆς γνώσεως, ὡς ἐπιποθήσας τὴν ἄνω, γνῶσιν Γρηγόριε, ἣν δίδου ἅπασι, τοῖς ἐπιγνῶναι ποθοῦσι, ἄῤῥητα μυστήρια, Χριστοῦ τῆς χάριτος.

Θεοτοκίον

Ὑπερήφανον ὄφιν, σαῖς προσευχαῖς Ἄνασσα, κτεῖνον καὶ ταπείνωσιν δίδου, τὴν χριστοφίλητον, ἐν ταῖς ψυχαῖς ἡμῶν, ὅπως ἑλκύσωμεν χάριν, ἥτις ἀναπαύεται, τοῖς ταπεινόφροσι.

Διάσωσον, ἀπὸ παθῶν σκοτομήνης τοὺς σοὺς ἱκέτας, ὦ Γρηγόριε εὐχαῖς παναγίοις σου, καὶ χάρισαι Χριστοῦ τὸ φῶς, τοῖς τιμῶσί σε πόθῳ.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Ὡς σάλπιγξ χρυσῆ, ὑπάρχων τῆς θεώσεως, παθῶν τὰς ψυχάς, ἡμῶν ἀποκάθαρον, καὶ εὐχῆς ἀνάδειξον ἐργαστήρια Γρηγόριε, Θεσσαλονίκης φωστήρ, διδάσκαλε μέγιστε τῆς Χάριτος.

ᾨδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.

Φῶς τοῦ Χριστοῦ ἅγιε, ἐπιζητοῦντός σου, διαλῦσαι διανοίας σκότωσιν, κραυγῇ ψυχῆς, ὤφθη φανερῶς, θεῖος Ἰωάννης, διαπιστῶν Θεομήτορος, τὴν σκέπην διὰ βίου, ἧς ἀξίωσον πάντας, ἱκεσίαις σου, πάτερ Γρηγόριε.

Ὡς ἀληθὲς μίμημα, Κυρίου γέγονας, ὑπακούων, ἐν παντὶ σῷ γέροντι, ὡς τῷ Πατρί, πείθεται Υἱός, φιλαυτίαν πάτερ, καταβαλὼν ταπεινώσει σου, διὸ ἡμῶν καρδίας, ταπεινώσεως πλῆσον, Ἰησοῦ ἱεράρχα Γρηγόριε.

Τὴν προσευχὴν ἔργον σου, ἔχων ἰσόβιον, καὶ πνοήν σου ὅλος πνεῦμα γέγονας, ταῖς ὑπηχαῖς Πνεύματος ἀεί, συμβαδίζων Πάτερ, καὶ καθαιρῶν ὀχυρώματα, ἐχθροῦ τοῦ μισοψύχου, οὗ παγίδων ποικίλων, ἐκλυτρώσαις ἡμᾶς ἀγγελόψυχε.

Θεοτοκίον

῾Ο οὐρανοὺς Πάναγνε, καὶ κτίσιν ἅπασαν, ἑνὶ λόγῳ κτίσας ἐν κοιλίᾳ σου ἁγνοπρεπῶς, γέγονε βροτός, ἵνα συμμετόχους, ἡμᾶς αὐτοῦ τῆς θεότητος, ποιήσηται ἐκ πλήθους, φιλανθρωπίας Μῆτερ, ἧς ἀξίωσον τοὺς ἀνυμνοῦντάς σε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Συστοιχῶν τοῖς ἀγγέλοις, ἄγρυπνον τὸ ὄμμα ψυχῆς ἐτήρησας, δι' εὐχῆς ἀπαύστου, ἀνυμνῶν τοῦ Θεοῦ χάριν ἄπειρον, ὅθεν ἀγρυπνίας, τῆς ἐν Χριστῷ ἀνάδειξόν με, ἐργαστήριον πάτερ Γρηγόριε.

Φίλος ὤφθης τρισμάκαρ, ἡσυχίας δι' ἧς νοῦς παθῶν καθαίρεται, ζῶν τὴν τοῦ ὀγδόου, ἀπ' ἐντεῦθεν αἰῶνος κατάστασιν, ὅθεν δίδου δῶρον, τοῖς σὲ Γρηγόριε τιμῶσι, ἡσυχάζειν ἀεὶ κατὰ δύναμιν.

῾Ως ἐκ γάλακτος οἶνος, διδαχή σου Γρηγόριε μετενήνεκται, οὕτω οἱ σοὶ λόγοι, εἰς τροφὴν στερεὰν γενηθήτωσαν, πᾶσι τοῖς ἐν τούτοις, πόθῳ ἐγκύπτουσι καρδίας, καὶ εἰς γνῶσιν Θεοῦ τὴν ἐκ πράξεως.

Θεοτοκίον

Τίς ἀξίως αἰνέσει, γηγενῶν Θεομῆτορ τὴν θείαν δόξαν σου, καὶ τὴν παῤῥησίαν, ἣν πλουτεῖς πρὸς Χριστὸν τὸν Θεάνθρωπον, σὺ γὰρ μόνη πέλεις, τῶν γυνακῶν τῶν ἀπ' αἰῶνος, καὶ Παρθένος καὶ Μήτηρ ἀμόλυντος.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἱλέωσαι, τὸν Χριστὸν Γρηγόριε, σαῖς ἁγίαις ἱκεσίαις καὶ πίθον, τὸν τῆς ψυχῆς, ἔμπλησόν μου ἐλέους, ὡς Ἐσφιγμένου Μονῆς πίθους ἔπλησας, ἐλαίου πάτερ εὐχηθείς, καὶ δεικνὺς σῆς πρεσβείας τὴν δύναμιν.

Συρόμενος, κενοδόξῳ δαίμονι, ἐθεώρει ἑαυτὸν μείζονά σου, ὁ μοναχός, ὃν εὐχῇ πατρικῇ σου, τῇ ταπεινώσει Χριστοῦ ἐσωφρόνισας, ἣν χάρισαι ἐκδυσωπῶ, τῇ ψυχῇ μου σκηνοῦν ὦ Γρηγόριε.

Ὁ μέγιστος, ἐν δουξὶ Δημήτριος, σὲ ἐκράτησε βουλόμενον Πάτερ, ἀποδημεῖν οὗ τῇ γνώμῃ ὑπήχθης, Θεοῦ τηρήσας ὑπέρλογον βούλημα, ᾧ πάντοτε κλίνειν ἡμᾶς, τὸν αὐχένα καλῶς καταξίωσον.

Θεοτοκίον

Νικήσασα, συνηθείας φύσεως, ὑπερτέρα τῶν κτισμάτων ἐδείχθης, καὶ τὸν Θεόν, ἐκμειλίσσῃ ὦ Μῆτερ, ὑπὲρ ἡμῶν τῶν σφαλλόντων ἀείποτε, νικῶσα κρίσιν τὴν Αὐτοῦ, φιλοτέκνοις δεήσεσι Δέσποινα.

Διάσωσον, ἀπὸ παθῶν σκοτομήνης τοὺς σοὺς ἱκέτας, ὦ Γρηγόριε εὐχαῖς παναγίοις σου, καὶ χάρισαι Χριστοῦ τὸ φῶς, τοῖς τιμῶσί σε πόθῳ.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν χριστιανῶν.

Παλαμᾶ θεοφόρε Γρηγόριε, θαβωρίου φωτὸς κήρυξ μέγιστε, σκότος λῦσον, ψυχαῖς ἡμῶν σφοδρῶς καταπεσόν, Χριστόν, ἱλεούμενος εὐχῇ, χεῖρας ὑψῶν τὰς ἱεράς, ποιμενάρχα φιλόστοργε· ὅπως τῆς σωτηρίας, τρίβον

www.tezaurliturgic.ro

ἀνεμποδίστως, ἐκδιανύσωμεν τὰ σά, κατορθώματα θαυμάζοντες.

Προκείμενον. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.
Στίχος. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

**ΕΥΑΓΓΕΛΙΟΝ**

Ἐκ τοῦ κατὰ Ἰωάννην
(ι΄, 9 - 16)

Εἶπεν ὁ Κύριος· Ἐγώ εἰμι ἡ θύρα. Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται εἰ μὴ ἵνα κλέψῃ καὶ θύσῃ καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον ἵνα ζωὴν ἔχωσι καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. Ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ καὶ οὐκ ὢν ποιμήν, οὗ οὐκ εἰσι τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον καὶ ἀφίησι τὰ πρόβατα καὶ φεύγει καὶ ὁ λύκος ἁρπάζει αὐτὰ καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι καὶ οὐ μέλλει αὐτῷ περὶ τῶν προβάτων. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ κἀγὼ γινώσκω τὸν Πατέρα καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης. Κἀκεῖνά με δεῖ ἀγαγεῖν καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου .
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ προσόμοιον.
Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.

Φωτολόγε πάντιμε, τῆς ἡσυχίας ὁ λύχνος, μοναστῶν ἐντρύφημα, προσευχῆς διδάσκαλε θεοδώρητε, ὀξυγράφε κάλαμε, Παλαμᾶ Γρηγόριε, ποιμενάρχα χριστομίμητε, χεῖρας ἁγίας σου, ἔκτεινον ὑπὲρ δεομένων σου· τὰ πάθη ἀποδίωξον, ἀπὸ τῶν ψυχῶν καὶ καθίδρυσον, ἀρετὰς τὰς θείας, ποιῶν ἡμᾶς Κυρίου μαθητάς, καὶ τῆς τρυφῆς καταξίωσον, Βασιλείας ἅγιε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

Ὠδὴ ζ΄. Παῖδες ἑβραίων.

Ἤθλησας ὑπὲρ εὐσεβείας, καὶ ἐξήλεγξας τοῦ Βαρλαὰμ τοὺς λήρους, γεγονὼς ἀληθής, στύλος Ὀρθοδοξίας, ἐν ᾗ ἡμᾶς ἀξίωσον, ὦ Γρηγόριε τεθνάναι.

Μάστιξ ἐδείχθης τῶν λεγόντων, ὡς ἀμέθεκτον ταῖς θείαις ἐνεργείαις, εἶναι πάτερ Θεόν, καὶ ξένον τοῖς ἀνθρώποις, Ὧ πάντας συμφιλίωσον, τοὺς γεραίροντάς σε πόθῳ.

Ὤφθης τῶν ἀρετῶν ταμεῖον, καὶ σοφώτατος τοῦ θείου λόγου κήρυξ, ὅθεν λύχνος λαμπρός, ποίμνης Θεσσαλονίκης, ἐγένου ἣν Γρηγόριε, σαῖς εὐχαῖς διαφυλάττοις.

Θεοτοκίον

Νέον Ἀδὰμ ἡ τετοκυῖα, ἀποκάθαρον τοὺς ῥύπους τῆς ψυχῆς μου, καὶ χιτῶνα αἰσχρόν, ἀπὸ τῆς ἁμαρτίας, διάῤῥηξον ὦ Δέσποινα, ὃν ἀφρόνως ἐνεδύθην.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει.

Τῆς δουλείας γευσάμενος πικρίαν, ἐλευθέρωσον, Γρηγόριε σοὺς δούλους, τοῦ ζυγοῦ ὃν ἐχθρός, τίθησι χαιρεκάκως, τοῖς ὅσοι τὰ προστάγματα, τοῦ Χριστοῦ καταφρονοῦσιν.

Ἀντωνίου πεισθεὶς τῇ ὑποδείξει, συνανύμνησας, Θεὸν τοῖς ἀδελφοῖς σου, ὅθεν πάτερ τὴν σήν, δεικνὺς φιλοτεκνίαν, μέσον ἡμῶν παρίστασο, εὐχομένων τῷ Δεσπότῃ.

Συνεκλείσθης ἀγάπῃ τοῦ Κυρίου, ταῖς ἁλύσεσι, τῆς φυλακῆς ὦ Πάτερ, διὸ πάντας ἡμᾶς, γρηγόρως ταῖς εὐχαῖς σου, κλοιῶν ἀπελευθέρωσον, τῆς κρατούσης ἁμαρτίας.

Θεοτοκίον

Κράτει χεῖρα τοῦ δούλου σου Παρθένε, καὶ ὁδήγησον, εἰς τρίβον μετανοίας, ἵνα μὴ ὁ ἐχθρός, ἐκκλίνῃ τεχνηέντως, εἰς ἀπωλείας βάραθρα, ὡς ἀνίσχυρόν με ὄντα.

ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Οὐράνια ποθήσας ἀπὸ ψυχῆς, τούτων ἔνοικος γέγονας ἄξιος ἐξ ὧν ἡμῶν, φρόνημα ἀλλοίωσον γεηρόν, καὶ βασιλείας φύτευσον, ἔρωτα τὸν θεῖον ἐν ταῖς ψυχαῖς, ὅπως ἀξιωθῶμεν, Γρηγόριε τρισμάκαρ, ταῖς σαῖς εὐχαῖς Χριστοῦ μεθέξεως.

Τηρήσας τὸν δεκάλογον ἀκριβῶς, τοῦ καλοῦ Νομοθέτου Γρηγόριε, νῦν κατοικεῖς, ἔνθα αἱ χορεῖαι υἱῶν Φωτός, βλέπουσι κατὰ πρόσωπον, τὸν ἐρασμιώτατον Ἰησοῦν, Οὗ διακόνους δεῖξον, ἡμᾶς καλοὺς ἐν βίῳ, καὶ μετὰ θάνατον θεάμονας.

Ἡ θήκη τῶν λειψάνων σου χορηγεῖ, ἀδαπάνως τὴν χάριν τοῦ Πνεύματος, ἥτις οἰκεῖ, τούτοις ἀνεκφοίτητος τοῖς πιστῶς, προσπίπτουσι Γρηγόριε, ἧς καταξιώσαις πάντας ἡμᾶς, τοῖς ἔχουσι προστάτην καὶ πρέσβυν ἐν Κυρίῳ, σὲ τὸν φωστῆρα τὸν χριστόφωτον.

Θεοτοκίον

Ἀθλοῦντες ἐπ᾽ ἐλπίδι ζωῆς Ἁγνή, καὶ ἐχθροῦ προσβολαῖς θανατούμενοι, τοὺς ὀφθαλμούς, αἴρομεν πρὸς Σὲ τὴν τὸν Ἰησοῦν, βαστάσασαν ἐν κόλποις σου, καὶ παρακαλοῦμεν ἱκετικῶς· πληθὺν ἡμῶν πταισμάτων, πάριδε φιλοτέκνως, καὶ Παραδείσου καταξίωσον.

Ἄξιόν ἐστι... καὶ τὰ

Μεγαλυνάρια

Ὄργανον τοῦ Πνεύματος θαυμαστόν, καὶ τῆς Ἐκκλησίας, ἱεράρχης θεοειδής, καὶ Φωτὸς τοῦ θείου, ἐκφάντωρ ἀνεδείχθης, ποιμὴν Θεσσαλονίκης, πάτερ Γρηγόριε.

Χαίροις τῶν ἀκτίστων ἐνεργειῶν, ἄριστος σημάντωρ, καὶ χρυσοῤῥειθρος ποταμός, τῆς νομοθεσίας κατὰ Χριστὸν ὁ κήρυξ, καὶ τῆς ἀδιαλείπτου, εὐχῆς ὑπέρμαχος.

Χάρισαι ἐγρήγορσιν ταῖς ψυχαῖς, θεῖε ἱεράρχα, διὰ νήψεως εὐκτικῆς, τῆς καρδίας πλάκας πλατύνων ταῖς εὐχαῖς σου, εἰς γνῶσιν τοῦ Κυρίου, πάτερ Γρηγόριε.

Τῆς Θεολογίας τὸν πλουτισμόν, λόγοις τε καὶ ἔργοις, δίδου πάτερ τοῖς ὡς σοφόν, ἔχουσι προστάτην καὶ πρέσβυν πρὸς Δεσπότην, σὲ Παλαμᾶ θεόφρον, Χάριτος πέλαγος.

Πᾶσαι τῶν Ἀγγέλων....

Τρισάγιον κλπ.

Εἰς τὴν ἀπόλυσιν.Στιχηρὸν προσόμοιον.
Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.

www.tezaurliturgic.ro

Χαίροις ἱεράρχα θαυμαστέ, ἀπολαύων νῦν τοῦ ἀκτίστου φωτὸς Κυρίου τρανῶς, Ὃν ἀεὶ ἱκέτευε, ὑπὲρ τῶν δούλων σου, ὅπως πάθη δυσέκπλυτα, ψυχῶν ἐκκαθάρῃ, καὶ Ἁγίου Πνεύματος, ἐμπλήσῃ ἅπαντας, ἵνα σὲ τιμῶμεν ἐκ πόθου, οἱ τῶν δωρεῶν σου τυχόντες, Παλαμᾶ Γρηγόριε χριστόψυχε.

Δέσποινα πρόσδεξαι.

Τὴν πᾶσαν ἐλπίδα μου.

Δι' εὐχῶν.

**Εὐχὴ ἱκετήριος πρὸς τὸν ἐν ἁγίοις μέγιστον ἱεράρχην Γρηγόριον ἀρχιεπίσκοπον Θεσσαλονίκης τὸν Παλαμᾶν.**

Ἅγιε ἔνδοξε καὶ θαυματουργὲ ἱεράρχα τοῦ Χριστοῦ Γρηγόριε, ὁ κήρυξ τοῦ θείου φωτὸς καὶ τῆς Χάριτος, ὁ ἀπὸ παιδὸς ἡγιασμένος καὶ ἀναθεὶς σεαυτὸν τῷ Θεῷ, τῶν μυστηρίων οὐρανόφρον θεατά, τῆς θεολογίας τὸ κεφάλαιον, τῆς Ὀρθοδοξίας ὁ μέγιστος ἐκφάντωρ καὶ πρόμαχος, τῆς νοερᾶς ἐργασίας ὁ πρακτικὸς ποδηγέτης, τῆς νηπτικῆς καθάρσεως ἡ θεόστομος μάχαιρα, τῆς ἀδιαλείπτου εὐχῆς ὁ ἰσόβιος διδάσκαλος, τῆς ποιμανσίας ὁ ἄριστος καὶ πρακτικὸς ὑποφήτης, τῶν θαυμάτων ἐξαίρετος αὐτουργός, τῆς πρὸς Θεὸν καὶ τὸν πλησίον ἀγάπης ὁ χριστοχάρακτος πίναξ, ὁ ἐμπειρότατος λύτης τοῦ ἐκ τῆς ἁμαρτητικῆς ἀχλύος σκότους τῶν ψυχῶν, ὁ τῆς Θεομήτορος οἰκειότατος θεράπων καὶ τῶν Ἁγίων ἰσοστάσιος καὶ ἰσότιμος φίλος, ὁ πάσης ἀρετῆς ἀσύλητος καὶ ἀδάπανος θησαυρός, ὁ πρὸς τὴν Παναγίαν Τριάδα ἀκαταίσχυντος μεσίτης τῶν σὲ πιστῶς τιμώντων, σὲ ἱκετεύομεν καὶ σὲ παρακαλοῦμεν ὡς Πατέρα πλουσιώτατον πτωχὰ τέκνα· ἐπάκουσον τῆς δεήσεως ἡμῶν καὶ ταῖς θείαις ἱκεσίαις σου ἱλέωσαι τὸν Φιλάνθρωπον Δεσπότην, εἰς Ὃν πολλὰ καθ' ἑκάστην ἑκουσίως τε ἢ ἀκουσίως πταίομεν, ὅπως συγχωρήσας ἡμῖν τὰς ἁμαρτίας καὶ τὰ πλημελήμματα, καθάρῃ τὰς ψυχὰς ἡμῶν τῇ

www.tezaurliturgic.ro

ἐνοικήσει τοῦ Ἁγίου Πνεύματος καὶ διαλύσας τὰ σκότη τῆς διανοίας, καταυγάσῃ ἡμᾶς ἐν τῷ φωτὶ τοῦ θείου Αὐτοῦ Προσώπου. Ἐνδυναμώσῃ δὲ τὴν ἀσθενοῦσαν οὐδενίαν ἡμῶν καὶ χαριτώσῃ πλουσιοδώρως εἰς ἀπρόσκοπτον καὶ θεοφιλῆ διακονίαν ἐν τῇ Ἐκκλησίᾳ, εἰς δόξαν τοῦ Παναγίου Ὀνόματος Αὐτοῦ καὶ σωτηρίαν ψυχῶν, ὑπὲρ ὧν τὸ τίμιον Αἷμα Αὐτοῦ ἐξέχεεν. Ἀξίωσον δὲ, Πάτερ τιμιώτατε, καὶ τῆς μετὰ σοῦ καὶ πάντων τῶν Ἁγίων ἐν τῇ ἐπουρανίῳ Βασιλείᾳ ποθητῆς θέας τοῦ παγκάλλου Προσώπου τοῦ Κυρίου, ᾯ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Στίχοι

Ἔκτεινον παλάμας σου πρὸς τὸν Δεσπότην,
Θεῖε Παλαμᾶ, Χάριν ἡμῖν ἑλκύων.



Συνετέθη, χάριτι Θεοῦ, ὁ παρὼν Παρακλητικὸς κανὼν εἰς τὴν ἐν Ἁγίῳ Ὄρει Ἄθω Ἱερὰν Μονὴν Σίμωνος Πέτρας τῇ 30. 1. 1998.